UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

XIX

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

αὐτοῦ ὄπισθεν μὴ βαδίζειν ἀλλ᾽ ἔμπροσθεν, ἵνα φυλάττῃ
αὐτόν, μὴ ἐν τῇ ὁδῷ ἀποδρᾷ. καὶ τοῖς εἰληφόσι τι παρ᾽ 9
αὐτοῦ καὶ λέγουσι· ‘πόσου, κατάθου· οὐ γὰρ σχολάζω πω
πέμπειν’· “μηδὲν πραγματεύου· ἐγὼ γάρ, ⟨ἕως⟩ ἂν σὺ
σχολάσῃς, συνακολουθήσω.”

## ΔΥΣΧΕΡΕΙΑΣ ΙΘ′ XIX

Ἔστιν ἡ δυσχέρεια [ἀθεραπευσία σώματος] λύπης παρα- 1
σκευαστική, ὁ δὲ δυσχερὴς τοιοῦτός τις, οἷος λέπραν ἔχων 2
καὶ ἀλφὸν [καὶ τοὺς ὄνυχας μεγάλους] περιπατεῖν καὶ φῆσαι
ταῦτα εἶναι αὐτῷ συγγενικὰ ἀρρωστήματα· ἔχειν γὰρ αὐτὸν
καὶ τὸν πατέρα καὶ τὸν πάππον, καὶ οὐκ εἶναι ῥᾴδιον [αὐτὸν]
εἰς τὸ γένος ὑποβάλλεσθαι. ἀμέλει δὲ δεινὸς καὶ ἕλκη ἔχειν 3
ἐν τοῖς ἀντικνημίοις καὶ προσπταίσματα ἐν τοῖς δακτύλοις
καὶ μὴ θεραπεῦσαι ἀλλ᾽ ἐᾶσαι θηριωθῆναι· καὶ τὰς μασχάλας
δὲ θηριώδεις καὶ δασείας ἔχειν ἄχρι ἐπὶ πολὺ τῶν πλευρῶν
καὶ τοὺς ὀδόντας μέλανας καὶ ἐσθιομένους, [ὥστε δυσέντευκτος
εἶναι καὶ ἀηδής.]

Καὶ τὰ τοιαῦτα· ἐσθίων ἀπομύττεσθαι· θύων ἅμ᾽ ἀδα- 4

---

M : Περί δυσχερείας ιθ′. Ἡ δυσχέρεια ἀθεραπευσία ἐστὶ σώματος λύπης παρασκευαστική. οἷον εἴ τις λέπραν ἔχων καὶ ἀλφὸν ἐώη ἀθεράπευτα συγγενῆ φάσκων ἔχειν. ὡς δὲ καὶ μασχάλας θηριώδεις δασείας καὶ ὀδόντας μέλανας

---

20 (et 22) αὐτοῦ V  φυλάττηται V : corr. Hirschig (conl. Arist. Vesp. 69)  21 αὐτόν Needham : αὐτῷ sic V  ἀποδρᾷ Hirschig : ἀποδράσῃ V  22 πόσου] cf. xxiii 6  23 πέμπειν V : εἰπεῖν, unde responsum pendeat, probabiliter Madvig  ἕως suppl. Madvig

XIX. tit. ἰθ. δυσχερείας coll. V  3 οἷος recc. : οἷον V  4 με (i.e. μεγάλους) V : μέλανας Herwerden; καὶ τοὺς ὄνυχας μεγάλους ut excerptoris additamentum del. Usener  5 αὐτῷ V  αὐτὸν] αὑτοῦ Edmonds  6 αὐτὸν V : παιδίον Hanow : ἄλλον Ruge : αὑτοῦ Jebb : αὑτῶν Meister : υἱὸν conieci  11 ὥστε κτλ.] hinc usque ad § 7 quid Theophrasti quid interpolantis excerptoris sit, certo distingui non potest; aliena capita nonnulli credunt immixta  13 ἅμ᾽ ἀδαξᾶσθαι scripsi (cf. Diodor. 3, 29 ὡς ὑπὸ ψώρας τινὸς ἐρεθιζόμενος μετρίως ὀδαξᾶσθαι φιλοτιμεῖται; Plut. Ap. Lac. p. 208 E v. Praef. p. vi) : ἅμα δ᾽ ἄρξασθαι sine sensu V : ἅμα ἀρᾶσθαι Wendland : ἀπομόρξασθαι (sc. sudorem) Ussing; alii alia

ξᾶσθαι· προσλαλῶν ἀπορρίπτειν ἀπὸ τοῦ στόματος· ἅμα
5 πιὼν προσερυγγάνειν. †ἀναπίπτοντος† ἐν τοῖς στρώμασι μετὰ
6 τῆς γυναικὸς αὐτοῦ κοιμᾶσθαι. ἐλαίῳ σαπρῷ ἐν βαλανείῳ
7 χρώμενος σφύζεσθαι. καὶ χιτωνίσκον παχὺν καὶ ἱμάτιον σφόδρα λεπτὸν καὶ κηλίδων μεστὸν ἀναβαλόμενος εἰς ἀγορὰν ἐξελθεῖν.

8 Καὶ εἰς [ἐξ] ὀρνιθοσκόπου τῆς μητρὸς ἐξελθούσης βλασ-
9 φημῆσαι. καὶ εὐχομένων καὶ σπενδόντων ἐκβαλεῖν τὸ
10 ποτήριον καὶ γελάσαι ὡς τεράστιόν τι πεποιηκώς. καὶ αὐλούμενος δὲ κροτεῖν ταῖς χερσὶ μόνος τῶν ἄλλων καὶ συντερετίζειν καὶ ἐπιτιμᾶν τῇ αὐλητρίδι, τί οὐ ταχὺ παύσαιτο.
11 καὶ ἀποπτύσαι δὲ βουλόμενος ὑπὲρ τῆς τραπέζης προσπτύσαι τῷ οἰνοχόῳ.

## XX ΑΗΔΙΑΣ Κʹ

1 Ἔστιν ἡ ἀηδία, ὡς ὅρῳ λαβεῖν, ἔντευξις λύπης ποιητικὴ
2 ἄνευ βλάβης, ὁ δὲ ἀηδὴς τοιοῦτός τις, οἷος ἐγείρειν ἄρτι
3 καθεύδοντα εἰσελθών, ἵνα αὐτῷ λαλῇ. καὶ ἀνάγεσθαι δὴ
4 μέλλοντας κωλύειν. καὶ προσελθὼν δεῖσθαι ἐπισχεῖν, ἕως

---

*καὶ ἐσθίων ἀπομύττεσθαι. καὶ ἀρξάμενος λέγειν ἀποπτύειν καὶ πιὼν ἐρυγγάνειν. καὶ προσπτύειν ἔμπροσθέν τινος. καὶ χρῆσθαι χιτῶσι ῥυπαροῖς. καὶ ὅσα τοιαῦτα:*

M: Περὶ ἀηδίας κʹ. *Ἡ ἀηδία ἔντευξις ἐστι λύπης ποιητικὴ ἄνευ βλάβης. οἷον τὸ ἐγείρειν καθεύδοντα ἵνα αὐτῷ συλλαλῇ. καὶ ἀνάγεσθαί τινα ἐθέλοντα*

---

15 *πίνων* Blaydes *ἀναπίπτοντος* V: *ἀναπόνιπτος* Badham 17 *σφύζεσθαι* (vox ignota) V: *χρίεσθαι* recc.: *ἀποξύεσθαι* Naber: *συρίζεσθαι* (*exsibilari*) temptavi 18 *ἀναβαλλόμενος* V: corr. Jebb 20 [ἐξ] del. recc. 21 *ἐμβαλεῖν* V: corr. Casaubon 22 *ὥσπερ ἀστεῖόν τι* perbene Bernard 23 *αὐλουμένων* Unger 24 *συντερμίζειν*, sed corr. V *τί οὐ ταχὺ παύσαιτο* V: *ὅτι οὕτω ταχὺ παύσαιτο* Eberhard: *τί οὕτω ταχὺ ἐπαύσατο* Ribbeck

XX. 2 *ἡ* suprascr. V 3 *οἷον* V (cf. M): corr. recc. 5 *μέλλοντα* Casaubon (cf. M) *προσελθόντων* Immisch: *προσελθόντος* Foss